θαίρειν, καὶ δαίμονας ἐλαύνειν· καὶ τοσούτους περὶ ἀκτημοσύνης πολλάκις ἀκούσας λόγους καὶ αὐτῷ τοσοῦτον χρόνον συγγενόμενος τῷ χριστῷ, καὶ τῷ τῶν πενήτων τὰ χρήματα πιστευθεὶς, ὥστε τοῦ πάθους ἐκεῖθεν ἔχειν παραμυθίαν (καὶ γὰρ κλέπτης ἦν) οὐδὲ οὕτως ἐγένετο βελτίων, καίτοι τοσαύτης συγκαταβάσεως ἀπολαύσας. ἐπειδὴ γὰρ ᾔδει ὁ χριστὸς ὅτι φιλάργυρος ἦν, καὶ διὰ χρημάτων ἔρωτα ἔμελλεν ἀπόλλυσθαι, οὐ μόνον αὐτὸν οὐκ ἀπῄτησε τούτου δίκας τότε, ἀλλ' ὥστε αὐτοῦ καταλειάναι τὸ πάθος, καὶ τὰ χρήματα αὐτῷ τῶν πενήτων ἐπίστευσεν, ἵν' ἔχων ὅθεν κορέσοι τὴν φιλοχρηματίαν, μὴ καταπέσῃ εἰς τὸ φρικῶδες ἐκεῖνο βάραθρον· ἐλάττονι κακῷ τὸ μεῖζον προαναστέλλων.

*purgaret, & dæmonas expelleret; crebris de paupertate sermonibus auditis, tamdiu versatus cum Christo, cuiq; pauperum pecuniæ creditæ fuerant, vt inde ægritudinis solatium caperet (fur enim erat) ne sic quidem factus est melior, quanquam tantam expertus indulgentiam. Cùm enim sciret CHRISTVS eum auarum esse, & amore pecuniæ periturum, non modò eius rei tum ab eo pœnas non repoposcit, verum vt ipsius ægritudinem deliniret & minori malo præcaueret maius, etiam pauperũ ei pecunias credidit, vt cùm haberet vnde pecunia cupiditatem satiaret, ne in horribile illud barathrũ corrueret,*